3 Πιερ]ίαθεν ἐ[ΰθ]ρονος [Ο]ὐρανία,
πολυφ]άτων γέμουσαν ὕμνων
5 . . . . .]ν, εἴτ᾽ ἄρ᾽ ἐπ᾽ ἀνθεμόεντι Ἕβρωι
. . . . . ἀ]γάλλεται ἢ δολιχαύχενι κύ[κνωι
7 . . . . .]δεῖαν φ[ρ]ένα τερπόμενος
. . . . . .]δ᾽ ἵκηι παιηόνων
col 37 (32) ἄνθεα πεδοιχνεῖν,
10 Πύθι᾽ Ἄπολλον,
τόσα χοροὶ Δελφῶν
cὸν κελάδηcαν παρ᾽ ἀγακλέα ναόν,
1 πρίν γε κλέομεν λιπεῖν
Οἰχαλίαν πυρὶ δαπτομέναν
3 Ἀμφιτρυωνιάδαν θραcυμηδέα φῶ-
θ᾽, ἵκετο δ᾽ ἀμφικύμον᾽ ἀκτάν·
5 ἔνθ᾽ ἀπὸ λαΐδος εὐρυνεφεῖ Κηναίωι
Ζηνὶ θύεν βαρυαχέας ἐννέα ταύρους
7 δύο τ᾽ ὀρcιάλωι δαμαcίχθονι μέλ-
λε κόραι τ᾽ ὀβριμοδερκεῖ ἄζυγα